# De paenitentia et compunctione

## Περὶ μετανοίας καὶ κατανύξεως

Ἀδελφοί μου ἀγαπητοί, ἕως καιρὸν ἔχομεν, κλαύσωμεν εἰς τὴν προσευχὴν ἡμῶν, ἵνα ῥύσηται ἡμᾶς ἐκ τοῦ κλαυθμοῦ ἐκείνου ὁ Κύριος τοῦ ἀτελευτήτου, καὶ βρυγμοῦ τῶν ὀδόντων, καὶ τοῦ πυρὸς τῆς γεέννης, καὶ χαροποιήσῃ ἡμᾶς ἐν τῇ ἀτελευτήτῳ ζωῇ, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός· ὅπου οὐκ ἔνι θάνατος καὶ διαφθορά· ἀλλὰ δι' ὅλου χαρὰ καὶ εὐφροσύνη καὶ ἀγαλλίασις, καὶ τὰ λοιπὰ ἀγαθά, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. Μακάριος καὶ τρισμακάριος, εἴ τις καταξιωθῇ τῶν ἀγαθῶν ἐκείνων. Ἄθλιος καὶ ταλαίπωρος ὁ ὑστερούμενος αὐτῶν· λέγει γὰρ ὁ Κύριος· τί ὠφελήσει ἄνθρωπον, ἐὰν τὸν κόσμον κερδήσῃ, καὶ τὴν ψυχὴν αὐτοῦ ζημιωθῇ; Μὴ οὖν γλυκανθῇ ἡμῖν ὁ αἰὼν οὗτος ὁ πονηρὸς καὶ μάταιος, ἵνα μὴ πικρανθῇ ἡμῖν τὸ πῦρ ἐκεῖνο τὸ αἰώνιον καὶ ὁ σκώληξ ἀκοίμητος καὶ ἰοβόλος. Ἀνάνηψον, ὦ ὀκνηρέ, καὶ μίμησαι ἐν τῇ ζωῇ σου τὸν Χριστόν. Ἴδε τοὺς μετὰ σοῦ ὄντας, πῶς ἀγωνίζονται, καὶ σπουδάζουσιν εἰς τὴν ἑαυτῶν σωτηρίαν· πῶς αἱ λαμπάδες αὐτῶν φαιδραὶ καὶ τὸ στόμα αὐτῶν ἀεὶ ὑμνεῖ τὸν ἀθάνατον Θεόν. Μὴ τοὺς μετεωριζομένους μίμησαι, ἀλλὰ τοὺς ἀγωνιζομένους. Μὴ τοὺς τρυφῶντας, ἀλλὰ τοὺς νηστεύοντας. Μὴ τοὺς γελῶντας, ἀλλὰ τοὺς κλαίοντας. Μὴ τοὺς βαλλίζοντας, ἀλλὰ τοὺς προσευχομένους. Μὴ τοὺς καταγελῶντας ᾄσματα δαιμόνων, ἀλλὰ τοὺς ψάλλοντας τὰ λόγια τὰ πνευματικά. Μὴ τοὺς κιθαρίζοντας, ἀλλὰ τοὺς ἀναγινώσκοντας. Μὴ ζηλώσῃς τοὺς πλουτοῦντας, ἀλλὰ τοὺς ταπεινοὺς τῷ πνεύματι. Εὐχαρίστει τῷ Κυρίῳ μετὰ τοῦ Δαυΐδ, ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ Κύριος. Μὴ ἀγάπα τὸ τρυφᾶν, ἀλλὰ τὸ κακοπαθεῖν. Μὴ τοὺς μεθύοντας, ἀλλὰ τοὺς πεινῶντας καὶ διψῶντας. Μὴ τοὺς μαχομένους, ἀλλὰ τοὺς εἰρηνεύοντας. Μὴ τοὺς ἀπηνεῖς, ἀλλὰ τοὺς εἰρηνεύοντας καὶ τοὺς ἐλεήμονας. Μὴ τοὺς θρασεῖς, ἀλλὰ τοὺς πραεῖς. Μὴ συναυλίζου μετὰ λοιδόρων, ὅτι λοίδοροι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι. Μηδέποτε συμφιλιάσῃς μετὰ αἱρετικῶν. Μὴ συμφάγῃς, μὴ συμπίῃς, μὴ συνοδοιπορήσῃς. Μὴ εἰσέλθῃς εἰς οἶκον αὐτῶν, μηδὲ εἰς ἐκκλησίαν· πάντα γὰρ ὅσα εἰσίν, ἀκάθαρτα εἰσίν, καθὼς λέγει ὁ Παῦλος, ὅτι τοῖς μεμιασμένοις καὶ ἀπίστοις οὐδὲν καθαρόν, ἀλλὰ μεμίανται αὐτῶν ὁ νοῦς καὶ ἡ συνείδησις. Ἀσφαλίζου οὖν τὴν ψυχήν σου, ἀγαπητέ. Μὴ συμφιλιάζῃς αἱρετικοῖς, ἵνα μὴ συγκοινωνήσῃς τῇ κοινωνίᾳ αὐτῶν· ὅτι γάρ, καθὼς εἶπεν ὁ Κύριος, οὐκ ἔχουσιν ἄφεσιν ἁμαρτιῶν, οὐδὲ ἐν τῷ νῦν αἰῶνι, οὐδὲ ἐν τῷ μέλλοντι· δηλονότι οὐδὲ οἱ συμμιαινόμενοι αὐτοῖς· ἕκαστος γὰρ θερίσει ὃ ἔσπειρε. Βλέπε, ὦ ἀδελφέ. Μὴ ἔχε ἔχθραν κατά τινος, εἰ δυνατόν, μήτε ὥραν μίαν. Μηδέποτε κοιμηθῇς, ἔχθραν κατά τινος ἔχων, μήπως ἀποχωρήσει ἡ νὺξ ἀπ' ἀλλήλων, καὶ εὕρῃς ἀπαραίτητον κρῖμα. Μηδέποτε παύσῃς προσευχόμενος· ὅτε δύνασαι ἐπὶ πρόσωπον, ὅτε οὐδὲν δύνασαι, εὔξου κατὰ διάνοιαν. Μὴ ἀναμείνῃς Κυριακήν, μηδὲ τόπου διαφοράν, μηδὲ ἐκκλησίαν· ἀλλ' ὅπου δ' ἂν εὑρεθῇς, εἴτε ἐν ἀγρῷ ἀροτριῶν, εἴτε ἐν ὁδῷ περιπατῶν, εἴτε πρόβατα ποιμαίνων, εἴτε ἐν τῷ οἴκῳ σου καθεύδεις, τῆς προσευχῆς σου μὴ ἀποστῇς. Ὅρα οὖν, ἀγαπητέ. Μὴ ἔχε ἔχθραν. Καὶ οὐ προσδέχεται ὁ Θεὸς προσευχὴν μνησικακοῦντος τὸν πλησίον αὐτοῦ. Φύλαττε τοῦ μὴ ποιεῖν φάρμακα, μηδὲ γοήτεια, μὴ μαντείαν, μηδὲ φυλακτήρια· μηδὲ ἄλλου ποιοῦντος φορέσῃς. Οὐ γὰρ εἰσὶ φυλακτήρια, ἀλλὰ δεσμωτήρια. Περὶ τούτου λέγει Ἠσαΐας ὁ προφήτης· οὐαὶ τοῖς γράφουσι πονηρίαν· <γράφοντες γὰρ πονηρίαν> γράφουσι. Σὺ δὲ ὡς πιστός, ταῦτα φεῦγε, ἔχων τὴν ἀλήθειαν καὶ <τὸν> σωτήριον καὶ ζωοποιὸν σταυρόν, καὶ τὸν ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτῷ προσηλωθέντα Κύριον· ὅστις φυλάττει πάντας τοὺς ἀγαπῶντας τὸν ἄχραντον καὶ ζωοποιοῦντα σταυρόν. Ὧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.